





1837
ARTES
VERITAS
SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE



Aristoph. ...

ARISTOPHANIS RANAE

RECENSUIT

ADOLPHUS VON VELSEN

BG

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXXXI.

ARISTOPHANIS RANAE

RECENSUIT

ADOLPHUS VON VELSEN

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXXXI.

LIPSIAE, TYPIS B. G. TEUBNERI.

PAULO VON SCHAEWEN

COLLEGAE OPTIMO

VIRO FORTISSIMO ATQUE CONSTANTISSIMO

S.

Praefatio.

Codices, quibus in Ranarum fabula recensenda usus sum, hi sunt:

1) Ravennas (*R*), membranaceus, forma quadrata maiore, foliorum 191, saeculo XI exaratus. Ab initio folia nonnulla madore corrupta sunt. Fabulas Aristophanias, quae quidem aetatem tulerunt, continet integras et scholia scripta manu diversa. Haec manus, fere suppar aetate primae manui, multis locis correctricis munere functa est (R^2). Inest in codice etiam altera manus correctrix multo recentior (R^3).

2) Venetus (*V*), membranaceus, inter Marcianos 474, forma quadrata maiore, foliorum 172, saeculo XII scriptus. Fabulas continet septem, quarum index in primi folii pagina versa exstat: *ἀριστοφάνους πλοῦτος*: *νεφέλαι*: *βάτραχοι*: *ἱππεῖς*: *ὄρνιθες*: *εἰρήνη*: *σφῆκες*: Exaratus est manibus eiusdem aetatis duabus, quarum alteri folia 1—61[r] (Ranarum v. 1008) debentur, alteri multo illi elegantiori folia 61[v]—172. Scholia addita sunt a primis manibus, sed postea correctores perpessa: tres enim per poetae quoque verba manus correctrices vagatae sunt, frequentissimae illae in Avibus et Equitibus: nec rasurae desunt, in quibus antiqua manus a recentioribus discerni saepe vix potest.

3) Vaticanus (*U*), bombycinus, inter Urbinates 141, forma quadrata minore, saeculo XIIII exaratus, foliorum 191, quorum 113 continent Aristophanis Plutum, Nubes, Ranas, Aves. Praeterea insunt quinque tragoediae Sophoclis: Oedipus I et II, Electra, Antigone, Philoctetes. Singulae lineae binos et interdum ternos versus exaequant. Insunt scholia a prima manu et inter lineas picta et infra contextum ita, ut duas fere sin-

gularum paginarum partes occupent. Ab alia manu pictae sunt notae personarum, quae multis locis ita exstinctae sunt, ut legi nequeant. Tertia manus in poetae verbis correctricis munere functa est (*U*²).*)

4) Parisinus (*A*), membranaceus, inter Brunckii regios 2712, forma quadrata maiore, scriptus saeculo XIII, foliorum 320, quorum 215 usque ad finem codicis et 107—110 (quibus Pluti vv. 485—783 leguntur) continent Aristophanis Plutum, Nubes, Ranas, Equites, Aves, Acharnenses, Ecclesiazusarum partem priorem. Singulae lineae binos versus exaequant. Insunt scholia, rara illa ad Plutum et Ranas, paullo uberiora ad Nubes, nulla ad Equites, Acharnenses, Aves, Ecclesiazusas. In Aristophane duae discernuntur correctorum manus, quarum altera minio et appinxit notas personarum et nonnullis locis correctricis munere functa est. Sed ipse dubius haesi, sitne haec manus, quae minio usa est, eadem atque illa, quae textum exaravit. Praeterea alia manus correctrix aperte recentior multis locis per poetae verba vagata est. Leguntur autem in hoc codice praeter illas Aristophanis fabulas Euripidis Hecuba, Orestes, Phoenissae, Andromache, Medea, Hippolytus, Sophoclis Aiax, Electra, Oedipus tyrannus, Antigone, Oedipus Coloneus, Trachiniae, Philoctetes. Quae ab alia manu scripta sunt atque ea, quae Aristophanis comoedias pinxit.

5) Ambrosianus (*M*), L. 39 sup., bombycinus, forma minore, foliorum circiter 312, saeculo XIIII exaratus. Continet Euripidis Hecubam, Orestem, Phoenissas cum scholiis; Aristophanis (inde a folio 89) Plutum, Nubes, Ranas, Equites, Avium partem maximam et in easdem omnes scholia locupletissima; Sophoclis (inde a folio 232) Electram et Oedipum Regem cum scholiis. Hunc codicem in Ranarum fabula certe e Ravennate non transcriptum esse docent vv. 201, 208, 274, alii.

Scribebam Saraeponte Cal. Aug. a. MDCCCLXXX.

---

*) Quam exhibeo huius codicis collationem, eam propensae erga me voluntati Eugenii Bormanni amici debeo: Multis locis codicem precibus meis, qua est facilitate, obsecutus denuo inspexit Rudolphus Prinzius meus.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΒΑΤΡΑΧΟΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΞΑΝΘΙΑΣ.
ΔΙΟΝΥΣΟΣ.
ΗΡΑΚΛΗΣ.
ΝΕΚΡΟΣ.
ΧΑΡΩΝ.
ΠΑΡΑΧΟΡΗΓΗΜΑ ΒΑΤΡΑΧΩΝ.
ΧΟΡΟΣ ΜΥΣΤΩΝ
ΟΙΚΕΤΗΣ ΠΛΟΥΤΩΝΟΣ.
ΘΕΡΑΠΑΙΝΑ ΠΕΡΣΕΦΟΝΗΣ.
ΠΑΝΔΟΚΕΥΤΡΙΑ α.
ΠΑΝΔΟΚΕΥΤΡΙΑ β.
ΕΥΡΙΠΙΔΗΣ.
ΑΙΣΧΥΛΟΣ.
ΠΛΟΥΤΩΝ.

ξανθίας. οἰκέτις διονύσου. ἡρακλῆς. νεκρός. χάρων. βατράχων παραχωρήματα (sic). *θεράπων πλούτωνος πανδοκεύτριαι B. διόνυσος. χορὸς μυστῶν. εὐριπίδης. αἰσχύλος. πλούτων. αἰακός. R — ξανθίας οἰκέτης διονύσου: διονύσιος* (sic): *ἡρακλῆς: νεκρός: χάρων: βατράχων παραχορήγημα. ἱερεύς·:· χορος μυστῶν: θεράπων πλούτωνος: πανδοκεύτρια: αἴακος: εὐριπίδης. αἰσχύλος πλούτων: ∾ V — ξανθίας. πανδοκεύτριαι δύο. διόνυσος. ἑτέρα πλαθάνη. ἡρακλῆς. αἰσχύλος. νεκρὸς εὐριπίδης. χαρών. μυστῶν χορὸς. αἰακὸς. χορὸς βατράχων παρήργημα. θεράπαινα περσεφόνης ☩ U — ξανθίας νεκρὸς διόνυσος χορὸς μυστῶν χορὸς βατράχων χάρων αἰακὸς πανδοκεύτρια· ἑτέρα πανδοκεύτρια εὐριπίδης· ἡρακλῆς· αἰσχύλος. ἑτέρα πλαθάνη· πλούτων. θεράπαινα περσεφόνης A — ξανθίας* (ξ minio pictum) *οἰκέτης, ὃς καὶ προλογίζει τῷ ἀναφόρῳ τῶν ὤμων θλιβόμενος. διόνυσος. ἡρακλῆς χάρων χορὸς βατράχων ἱερεύς. χορὸς μυστῶν αἰακός. πανδοκεύτρια οἰκέτης. ἑτέρα πανδοκεύτρια εὐριπίδης αἰσχύλος ἑταῖρα πλαθάνη. πλούτων. θεράπαινα περσεφόνης: M —*

ΥΠΟΘΕΣΕΙΣ.

I.

Διόνυσός ἐστι μετὰ θεράποντος Ξανθίου κατὰ Εὐριπίδου πόθον εἰς Ἅιδου κατιών· ἔχει δὲ λεοντῆν καὶ ῥόπαλον πρὸς τὸ τοῖς ἐντυγχάνουσιν ἔκπληξιν παρέχειν. ἐλθὼν δὲ ὡς τὸν Ἡρακλέα πρότερον, ἵνα ἐξετάσῃ τὰ κατὰ τὰς ὁδούς, ᾗ καὶ αὐτὸς ἐπὶ τὸν Κέρβερον ᾤχετο, καὶ ὀλίγα ἄλλα περὶ τῶν τραγικῶν τούτῳ διαλεχθεὶς ὁρμᾶται πρὸς τὸ προκείμενον. ἐπεὶ δὲ πρὸς τῇ Ἀχερουσίᾳ λίμνῃ γίνεται, ὁ μὲν Ξανθίας, διὰ τὸ μὴ συννεναυμαχηκέναι τὴν περὶ Ἀργινούσας ναυμαχίαν, ὑπὸ τοῦ Χάρωνος οὐκ ἀναληφθεὶς πεζῇ τὴν λίμνην κύκλῳ πορεύ-

---

SCRIPTURAE DISCREPANTIA.

ΥΠΟΘΕΣΙΣ. I.] *βατράχων* $\overset{\pi}{\upsilon}$ *R ὑπόθεσις βατράχων ἀριστοφάνους*: — *VA ἄλλως* (minio pictum *α*) *M* (nam secundo loco hoc argumentum legitur in *M*)

v. 1 *δ* in *διόνυσός*] minio pictum in *A διόνυσος* est in *R* | *ἐστι*] *εστι* supra lineam adscriptum in *R* | *μετὰ*] *μετα R* | *κατὰ*] *δι' AM* | *Εὐριπίδου*] *εὐριπίδην A* ‖ v. 2 *πόθον*] *ποθὸν A* | *Ἅιδου*] *ἅδου RAM* | *κατιών*] *κατιὼν VM* | *λεοντῆν*] *λεοντὴν RV* | *ῥόπαλον*] *ροπαλον R* | *πρὸς*] *προς RV* ‖ v. 3 *τὸ*] om. *R* | *ἔκπληξιν*] *ἐκπληξιν R* | *παρέχειν*] *παρεχειν R παρασχεῖν A* | *δὲ*] *δε R* ‖ v. 4 *ἐξετάσῃ*] *ἐξετασῃ R ἐξετάσῃ A* | *τὰ*] om. *V* | *ὁδούς*] *ὁδοὺς RVAM* | *ᾗ*] *ᾗ V δι' ὧν AM* ‖ v. 5 *ἐπὶ*] *ἐποίησεν ἐπὶ A ἐποίησε τὴν πορείαν πρὸς M* | *ᾤχετο*] *ὤχετο A* | *ὀλίγα ἄλλα*] *ὀλίγα ἄττα R ὀλίγα ἄττα V ὀλίγων πραγμάτων νοῦν A ὀλίγα M* | *περὶ*] *περι R* | *τραγικῶν*] *στρατηγικῶν A* ‖ v. 6 *τούτῳ*] omm. *AM* | *ὁρμᾶται*] *ὁρμᾷ RVM* ‖ v. 7 *πρὸς*] *προς R* | *τῇ*] *τῆ A* | *Ἀχερουσίᾳ*] *χερουσίᾳ R ἀχεροντία A* | *λίμνῃ*] *λίμνη A* | *διὰ*] *δια RV* ‖ v. 8 *μὴ*] *μη R* | *συννεναυμαχηκέναι*] *σὺν νεναυμαχηκέναι V συμμεμαχηκέναι A* | *τὴν*] *εἰς τὴν AM* | *περὶ*] *περι R* | *Ἀργινούσας*] *ἀργεννούσας M* | *ναυμαχίαν*] *ναυμαχ͂ι R* | *ὑπὸ*] *ὑπο R* ‖ v. 9 *οὐκ' R* | *ἀναληφθεὶς*] *αναληφθεὶς V* | *πεζῇ*] *πεζῆ AM* | *λίμνην*] omm. *RV* | *κύκλῳ*] *κύκλω AM*

εται. ὁ δὲ Διόνυσος δύο ὀβολῶν περαιοῦται, προσπαίζων ἅμα τοῖς κατὰ τὸν πόρον ᾄδουσι βατράχοις καὶ γελωτοποιῶν. μετὰ ταῦτα δ' ἐν Ἅιδου τῶν πραγμάτων ἤδη χειριζομένων οἵ τε μύσται χορεύοντες ἐν τῷ προφανεῖ καὶ τὸν Ἴακχον ᾄδοντες ἐν χοροῦ σχήματι καθορῶνται, ὅ τε Διόνυσος μετὰ τοῦ θεράποντος εἰς ταὐτὸν ἔρχεται τούτοις. τῶν δὲ προηδικημένων ὑπὸ Ἡρακλέους προσπλεκομένων τῷ Διονύσῳ διὰ τὴν ἐκ τῆς σκευῆς ἄγνοιαν, μέχρι μέν τινος οὐκ ἀγελοίως χειμάζονται, εἶτα μέντοι γε ὡς τὸν Πλούτωνα καὶ τὴν Περσέφατταν παραχθέντες ἀλεωρῆς τυγχάνουσιν. ἐν δὲ τούτῳ ὁ μὲν τῶν μυστῶν χορὸς περὶ τοῦ τὴν πολιτείαν ἐξισῶσαι καὶ τοὺς ἀτίμους ἐντίμους ποιῆσαι χἀτέρων τινῶν πρὸς τὴν Ἀθηναίων πόλιν διαλέγεται. τὰ δὲ λοιπὰ τοῦ δράματος μονόκωλον, ἄλλως δὲ τερπνὴν καὶ φιλόλογον λαμβάνει σύστασιν. παρεισάγεται γὰρ

SCRIPTURAE DISCREPANTIA.

v. 1 *δὲ*] *δε R* | *διόνυσος*] corr. prima manus ex *διόνυσον* in *A* | *δύο ὀβολῶν*] *δύο οβολῶν R δοὺς διώβολον, AM* | *περαιοῦται*] *περᾷ A περᾷ M* | *προσπαίζων*] *πρὸς παίζων R προσπέξων M* | *ἅμα*] *ἅμα δὲ A* ‖ v. 2 *ᾄδουσι*] *ᾄδουσι R* om. *A* | *καὶ* om. *A* | *μετὰ*] *μετα RAM* ‖ v. 3 *δ'*] omm. *RVM* | *Ἅιδου*] *ᾅδου V ἅδου A* | *πραγμάτων*] *βατράχων A* | *ἤδη*] *ἡδη R* om. *A* | *χειριζομένων*] *χωριζομένων A* ‖ v. 4 *χορεύοντες*] *χωρεύοντες A* | *τῷ*] *τῶ RA* | *ᾄδοντες*] *ᾄδοντες R* ‖ v. 5 *μετὰ*] *μετα R* ‖ v. 6 *ταὐτὸν*] *ταυτὸν* codices | *ἔρχεται*] *ἔρχονται A* | *προηδικημένων*] *ἠδικημένων A* ‖ v. 7 *ὑπὸ*] *ὑπο R ὑπὲρ A* | *προσπλεκομένων*] *προσπλεκομένῳ M* | *τῷ Διονύσῳ*] *τῶ διονύσω A* | *διὰ*] *δια R* | *τὴν*] *τε R τὸν V* | *ἐκ*] om. *A* ‖ v. 8 *σκευῆς*] *σκηνῆς A* | *ἄγνοιαν*] *αγνοίας R ἀγνοίας V* | *μέν*] *μὲν οὖν RV* | *τινος*] *τινὸς RV* ‖ v. 9 *μέντοι γε*] *μὲν τοι A* | *ὡς*] *πρὸς AM* | *τὸν*] om. *M* | *Περσέφατταν*] *περσεφάτταν R περσέφεσσαν A περσέφασαν M* | in margine signum est a prima manu pictum, quod *διπλῆ περιεστιγμένη* esse videtur *R* | *παραχθέντες*] *παρελθόντες A περιελθόντες M* ‖ v. 10 *ἀλεωρῆς*] *ἀλεώρας RV* | *ἐν δὲ τούτῳ*] *ἐν δε τούτω R ἐν τοσούτω δὲ A ἐν τοσούτῳ δὲ M* ‖ v. 11 *χορὸς*] *χορος V* | *περὶ*] *περι R* | *ἐξισῶσαι*] *ἐξισώσαι R ἐξετάσαι M* | *ἀτίμους*] *ατίμους R* | *ἐντίμους*] omm. *RV* ‖ v. 12 *ποιῆσαι*] *ποιησαι R* | *χἀτέρων*] *χατερων R χατέρων V χ' ἀτέρων A χἀτέρων M* | *πρὸς*] *προς R* | *Ἀθηναίων*] *τῶν ἀθηναίων RVA* | *διαλέγεται πόλιν* (tr.) *AM* | *διαλέγεται*] *διαλεταὶ* (sic) *R* ‖ v. 13 *δὲ*] *δε R* | *μονόκωλον*] *μονοκωλ° R μονόκωλα V* | *ἄλλως*] *αλλως R* | *δὲ*] *τε AM* ‖ v. 14 *φιλόλογον*] *φιλόλόγον* (sic) *M*

Εὐριπίδης Αἰσχύλῳ περὶ τῆς τραγικῆς διαφερόμενος, τὸ μὲν ἔμπροσθεν Αἰσχύλου παρὰ τῷ Ἅιδῃ βραβεῖον ἔχοντος τὸν τραγῳδικὸν θρόνον, τότε δὲ Εὐριπίδου τῆς τιμῆς ἀντιποιησαμένου. συστήσαντος δὲ τοῦ Πλούτωνος αὐτοῖς τὸν Διόνυσον διακούειν ἑκάτερος αὐτοῖν λόγους πολλοὺς καὶ ποικίλους ποιεῖται, καὶ τέλος πάντα ἔλεγχον καὶ πᾶσαν βάσανον οὐκ ἀπιθάνως ἑκατέρου κατὰ τῆς θατέρου ποιήσεως προσαγαγόντος, κρίνας παρὰ προσδοκίαν ὁ Διόνυσος Αἰσχύλον νικᾶν, ἔχων αὐτὸν ὡς τοὺς ζῶντας ἀνέρχεται.

Τὸ δὲ δρᾶμα τῶν εὖ πάνυ καὶ φιλολόγως πεποιημένων. ἐδιδάχθη ἐπὶ Καλλίου τοῦ μετὰ Ἀντιγένη διὰ Φιλωνίδου εἰς Λήναια. πρῶτος ἦν· Φρύνιχος δεύτερος Μούσαις· Πλάτων τρίτος Κλεοφῶντι. οὕτω δὲ ἐθαυμάσθη τὸ δρᾶμα διὰ τὴν ἐν

SCRIPTURAE DISCREPANTIA.

v. 1 *Εὐριπίδης*] *ευῥιπίδης R* | *αἰσχύλος εὐριπίδη* (*εὐριπίδῃ M*) transposita in *AM* | *περὶ*] *περι R* | *τραγικῆς*] *τραγωδίας A τραγῳδίας M* | *διαφερόμενος*] *διαλεγόμενος AM* | *τὸ* correxit prima manus ex *τῷ* in *R* ‖ v. 2 *παρὰ*] *παρα R* | *Ἅιδῃ*] *ᾅδη R ἅδηι V* | *βραβεῖον*] *τὸ πρωτεῖον AM* | *τὸ πρωτεῖον παρὰ τῷ ἅδῃ* (tr.) in *A* | *τὸν*] *καὶ τοῦ RVM* ‖ verba a *τὸν τραγῳδικὸν θρόνον* incl. (v. 2) usque ad *τοῦ πλούτωνος* excl. (v. 4) omissa sunt in *A* ‖ v. 3 *τραγῳδικὸν*] *τραγῳδικοῦ RM τραγωδικοῦ V* | *θρόνον*] *θρόνου RVM* | *Εὐριπίδου*] *εὐριππίδου V* | *ἀντιποιησαμένου*] *ἀντιποιησαμενου R* ‖ v. 4 *Πλούτωνος*] *πλάτωνος V* ‖ v. 5 *διακούειν*] *ἀκροατὴν ἱδρυσαμένου A ἀκροατὴν M* | *ἑκάτερος*] *εκάτερος R* | *αὐτοῖν*] *δ' αὐτῶν A αὐτῶν M* | *λόγους πολλοὺς καὶ ποικίλους ποιεῖται*] *λόγους ποιεῖται πολλυὺς AM* ‖ v. 7 *ἀπιθάνως*] *απιθάνως R* | *κατὰ*] *κατα R* | *προσαγαγόντος*] *προσάγοντος RV* ‖ v. 8 *παρὰ*] *παρα R* | *ὁ*] om. *A* | *Αἰσχύλον*] *τὸν αἰσχύλον RV* ‖ v. 9 *ἔχων*] *ἐχων V* | *αὐτὸν*] corr. prima manus ex *αὐτοὺς* in *R* ‖ v. 10 *τ* in *τὸ*] minio pictum est in *M* | *δὲ*] *δε R* | *δρᾶμα*] *δράμα V* | *εὖ πάνυ καὶ φιλολόγως*] *εὖ καὶ φιλοπόνως πάνυ AM* ‖ v. 11 *ἐπὶ*] *ἐπι R* | *μετὰ*] *μετα R* | *Ἀντιγένη*] *ἀντιγενη R ἀντιγένην M* | *Καλλίου*] *καλλίου ἄρχοντος M καλλίου ἄρχοντος* :· *A* reliqua omnia desunt; secuntur *τὰ τοῦ δράματος πρόσωπα* in *A* | *διὰ*] *δια RV* | *Φιλωνίδου*] *φιλωνιδου R* ‖ v. 12 *Λήναια*] *ληναῖα R λιναῖα V* | *ἐπι ληναίῳ, φιλωνίδης ἐπεγράφη, καὶ ἐνίκα φρύνιχος δύο μούσαις* (pro *διὰ Φιλωνίδου . . . . . . δεύτερος Μούσαις·*) *M* | *δεύτερος Μούσαις*] *B ὑσαῖς R* om. *V δύο μούσαις M* ‖ v. 13 *τρίτος*] *τρεῖς M* | *διὰ*] *δια R*

αὐτῷ παράβασιν ὥστε καὶ ἀνεδιδάχθη, ὥς φησι Δικαίαρχος. οὐ δεδήλωται μὲν ὅπου ἐστὶν ἡ σκηνή, εὐλογώτατον δ' ἐν Θήβαις· καὶ γὰρ ὁ Διόνυσος ἐκεῖθεν καὶ πρὸς τὸν Ἡρακλέα ἀφικνεῖται Θηβαῖον ὄντα.

II.

ΑΛΛΩΣ.

Μαθὼν παρ' Ἡρακλέους Διόνυσος τὴν ὁδὸν
πρὸς τοὺς κατοιχομένους πορεύεται, λαβὼν
τὸ δέρμα καὶ τὸ σκύταλον, ἀναγαγεῖν θέλων
Εὐριπίδην· λίμνην τε διέβαινεν κάτω
καὶ τῶν βατράχων ἀνέκραγεν εὔφημος χορός.
ἔπειτα μυστῶν ἐκδοχή. Πλούτων δ' ἰδὼν
ὡς Ἡρακλεῖ προσέκρουσε διὰ τὸν Κέρβερον.
ὡς δ' ἀνεφάνη, τίθεται τραγῳδίας ἀγών,
καὶ δὴ στεφανοῦταί γ' Αἰσχύλος. τοῦτον δ' ἄγει
Διόνυσος εἰς φῶς, οὐχὶ μὰ Δί' Εὐριπίδην.

SCRIPTURAE DISCREPANTIA.

v. 1 *αὐτῷ*] *αυτῷ R* | *παράβασιν*] om. spatio relicto *M* | *ὥστε*] *ὥσπερ M* | quae secuntur post *ἀνεδιδάχθη* huius argumenti verba desunt in *M* | *ὥς*] *ὡς RV* | *φησι*] *φησὶν R* ‖ verba quae in hoc argumento post *Δικαίαρχος* vocabulum secuntur, post secundum argumentum leguntur in *RV* ‖ v. 2 *σκηνή*] *σκηνὴ R σκηνή* corr. prima manus ex *σκηνὴ* in *V* | *δ'*] *δ V* ‖ v. 3 *πρὸς*] *προς RV*

II. *ΑΛΛΩΣ.*] *ἀριστοφάνους* $\overset{\pi}{\upsilon}$ *βατρ*$\overset{\chi}{\alpha}$. *R ἄλλως ὑπόθεσις βατράχων ἀριστοφά: V βατράχων ὑπόθεσις*:· minio pictum a prima manu *M*, in quo hoc argumentum primo loco legitur.

v. 5 *παρ'*] *παρα R παρὰ V* ‖ v. 7 *τὸ*] *τὸν M* | *ἀναγαγεῖν*] *ἀνάγειν RVM* | *θέλων*] *θέλον R* ‖ v. 8 *Εὐριπίδην*] *ευριπίδην R εὐριππίδην V* | *τε*] *τὲ V* | *διέβαινεν*] *διέβαινε VM* ‖ v. 10 *δ'*] *δ V* | *ἰδὼν*] *ιδὼν R* ‖ v. 11 *προσέκρουσε*] *προσέκοπτε M* | *διὰ*] *δια R* ‖ v. 12 *δ'*] *δ V* | *τραγῳδίας*] *τραγωδίας V* | *ἀγών*] *ἀγὼν R* ‖ v. 13 *στεφανοῦταί γ'*] *στεφανοῦται RVM* | *δ'*] *δ V* | *ἄγει*] *άγει R* ‖ v. 14 *εἰς*] *ἐς RV* | *φῶς*] *φὼς R* | *οὐχὶ*] *οὐ M* | *μὰ*] *μα V* | *Εὐριπίδην*] *εὐριππίδην V* ‖ sequitur in eadem linea: *ἄλλως·* (minio pictum *ἅ*) *διόνυσος* (argumenti primi initium) in *M* ‖ verba ita disposita sunt, ut singuli versus finiantur vocibus: *ὁδὸν* | *τὸ* | *εὐρι* (in *εὐριπίδην*) | *τῶν* | *ἔπειτα* | *ἡρακλεῖ* | *ἀνεφάνη* | *στεφανοῦται* | *οὐχὶ* | (parvo spatio post *εὐριπίδην* vocabulum relicto) *οὐ δεδήλωται μὲν ὅπου R* — *πορεύε-*

III.

Ὁ παρὼν ποιητής, ὡς ἐν τῷ δράματι τοῦ Πλούτου τῷ τότε τῶν Ἀθηνῶν ἄρχοντι ὁπωσδήποτε χαριζόμενος, τότε τὸν Πλοῦτον ἀναβλέψαι φησὶ καὶ πλουτῆσαι τοὺς ἀγαθούς· τῶν Νεφελῶν δὲ τὸ δρᾶμα κατὰ τὸ φαινόμενον γράψας κατὰ Σωκράτους, κατὰ παντὸς συνετάξατο φιλοσόφου καὶ μετεωρολέσχου καὶ φυσικοῦ. [Σωκράτης γὰρ μετερχόμενος τὴν ἠθικὴν φιλοσοφίαν, κατεγέλα μεταρσιολογίας καὶ φυσικῆς, ὡς γράφει Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασι, θεολογίας δὲ ὡς ἀκαταλήπτου πάντῃ ἀπείχετο· ὡς οὖν τὸ δρᾶμα τοῦ Πλούτου ὑπὲρ τοῦ τότε ἄρχοντος Ἀθηνῶν ἀσυμφανῶς ξυνετάξατο, κατὰ παντὸς δὲ φιλοσόφου μεταρσιολέσχου καὶ ψευδοτύφου τὸ δρᾶμα τῶν Νεφελῶν·] οὕτω καὶ τήνδε τὴν κωμῳδίαν τῶν Βατράχων κατὰ παντὸς ὑποψύχρου καὶ ὑποξύλου κτλ ἀφυοῦς καὶ ἀτεχνότατα γράφοντος, τῷ μεμηνέναι δὲ οὐ συνιέντος ἑαυτὸν ὄντα βάρβαρον, οἰομένου δὲ μὴ μόνον ἰσοῦσθαι, ἀλλὰ καὶ τὰ κρείττονα φέρεσθαι τῶν λίαν ἐπιστημόνων. ὡς τῷ ὑπὲρ φύσιν Ὁμήρῳ τις ἀνώνυμος ἤριζε Σάτυρος, Ἡσιόδῳ δὲ Κέρκωψ, ἢ πλέον εἰπεῖν, Εὔρυτος μὲν τόξικῇ, Μαρσύας δὲ μουσικῇ τῷ Ἀπόλλωνι. Σειρῆσι δὲ καὶ Μούσαις Θάμυρις ὁ μαινό-

---

SCRIPTURAE DISCREPANTIA.

ται | δι (in διέβαινεν) | πλούτων | τραγῳδίας | εὐριπίδην *V* — κατοιχο (in κατοιχομένους) | ἀνά (in ἀνάγειν) | καὶ τῶν | ἐκδο (in ἐκδοχή) | κέρβε (in κέρβερον) | αἰσχύλος | εὐριπίδην *M* — secuntur: τὰ τοῦ δράματος πρόσωπα in *R* et *V*

deest tertium argumentum in *R* et *V*, ut, quae sequitur scripturae discrepantia ex solo codice Ambrosiano sit petita ‖ III.] ὑπόθεσις δράματος βατράχων: (minio picta) ‖ v. 1 ὁ minio pictum est | ποιητὴς | om. τοῦ ‖ v. 2 om. τότε | ἀθηναίων (pro Ἀθηνῶν) | ὅπως δήποτε ‖ v. 3 φησί | πλουτίσαι ‖ v. 4 τῷ (pro κατὰ τὸ) | φαινομένῳ | μετὰ σωκράτους (pro κατὰ Σωκράτους) ‖ v. 5 συνετάγη (pro συνετάξατο) | om. καὶ (ante μετεωρολέσχου) ‖ v. 7 εἰ ἄρα κἂν ταύτῃ καὶ περὶ (pro κατεγέλα) | ὡς γράφει καὶ ξενοφῶν ‖ v. 10 τῶν ἀθηνῶν (pro Ἀθηνῶν) | συνετάξατο ‖ v. 12 τὴν τῶν βατράχων (pro τῶν Βατράχων] ‖ v. 14 δ' (pro δὲ) | αὐτὸν (pro ἑαυτὸν) ‖ v. 16 κρείττω (pro τὰ κρείττονα) | φαίνεσθαί τινων αἰθερίων ἀνθρώπων (pro φέρεσθαι τῶν λίαν ἐπιστημόνων) ‖ v. 17 τὶς (pro τις) | κέρκων (pro Κέρκωψ) ‖ v. 18 τῷ μουσικῷ ἀπόλλωνι (pro μουσικῇ τῷ Ἀπόλλωνι) ‖ v. 19 σειρῆνες δὲ (pro Σειρῆσι δὲ] | μούσαις καὶ θάμυρις (pro καὶ Μούσαις Θάμυρις)

μενος· ἢ ὡς ὁ Αἰγύπτιος Σῶφις καὶ ὁ Θετταλὸς Σαλμωνεὺς ταῖς οὐρανίαις ἀντιπαταγοῦντες βρονταῖς καὶ τοῖς κεραυνοῖς δῆθεν ἀντραστράπτοντες. κατὰ τοιούτου παντὸς μὴ συνιέντος ἑαυτὸν [ἐξομοιουμένου δὲ φιληταῖς ἀλογίστοις καθάρμασι, δίκην βατράχων βοῶσι θορυβωδέστατα,] τὸ τοιοῦτον ὁ ποιητὴς ἐξέθετο δρᾶμα. Διασκευὴ δὲ καὶ ἔκθεσις τοιάδε τοῦ δράματος· πλάττεται τῷ ποιητῇ δυσφορῶν ὁ Διόνυσος διὰ τὸ ἐν τοῖς Διονυσίοις μὴ εἶναι τραγικὸν ἢ κωμικὸν δεξιὸν ποιητήν. ὅθεν καὶ βουληθεὶς κατιέναι εἰς ᾅδου, ὡς Εὐριπίδην ἐκεῖθεν ἀνάξειεν, ἐπὶ Διονυσιακοῖς τοῖς κοθόρνοις καὶ λεοντῆν καὶ ῥόπαλον ἔχων τρόπῳ τοῦ Ἡρακλέους μετὰ Ξανθίου οἰκέτου, ὄνῳ ἐποχουμένου, τοῖς ὤμοις δὲ ἀνάφορον φέροντος, ὃ ἀλλακτὸν δημωδεστέρως καλεῖται, εἰς Θήβας ἢ Τίρυνθα, πόλιν τοῦ Ἄργους, ἀφικνεῖται πρὸς Ἡρακλέα, ὁδοὺς τὰς εἰς ᾅδου χρῄζων μαθεῖν ἐξ αὐτοῦ καὶ πανδοχεῖα καὶ ἐκτροπάς, ἅτε τοῦ Ἡρακλέους εἰς ᾅδου πρὶν κατελθόντος ἐπ' ἀναγωγῇ τοῦ Κερβέρου· εἰ καὶ δυσὶ γενεαῖς προγενέστερος ἦν Ἡρακλέους ὁ Διόνυσος. παρ' οὗ μαθὼν ὅσων ἔχρῃζεν, ἀπάρχεται τῆς πορείας. παρὰ τὴν λίμνην δὲ πεφθακὼς τὴν Ἀχερουσίαν αὐτὸς μὲν ὁ Διόνυσος δυσὶν ὀβολοῖς περαιοῦται τῷ Χάρωνι, Ξανθίας δ' ἀνθ' ὧν τῇ περὶ Ἀργινούσας οὐκ ἐναυμάχησε ναυμαχίᾳ, τῷ Χάρωνι μὴ ἀναληφθεὶς πεζῇ τὴν λίμνην κύκλῳ περιπορεύεται· καὶ τί δεῖ λεπτολογεῖν τὸ πᾶν τοῦ συγγράμματος τέλος; Διόνυσος ξενίζεται Περσεφόνῃ καὶ Πλούτωνι καὶ κρίσιν ποιησάμενος ποιητῶν, Εὐριπίδου καὶ Αἰσχύλου, καὶ

SCRIPTURAE DISCREPANTIA.

v. 1 *ὡς αἰγύπτιος σώφρις* ‖ v. 2 *ταῖς οὐρανίαις λήρως ἀντιπαταγοῦντες βρονταῖς* ‖ v. 4 *αὐτὸν* | *ἐξυμνουμένου* (pro *ἐξομοιουμένου*) | *ἀναλογίας* (pro *ἀλογίστοις*) ‖ v. 6 *δρᾶμα ἐξέθετο* (tr.) | *ἡ διασκευὴ* et *ἡ ἔκθεσις* (pro *Διασκευὴ* et *ἔκθεσις*) | minio picta sunt verba: *ἡ διασκευὴ καὶ ἡ ἔκθεσις τοιάδε τοῦ δράματος*:· sed a prima manu ‖ v. 7 *π* in *πλάττεται* minio pictum est a prima manu ‖ v. 8 *ἢ δεξιὸν κωμικὸν* (tr.) ‖ v. 9 om. *ἐκεῖθεν* ‖ v. 11 *τρόπον* (pro *τρόπῳ*) ‖ v. 11—16 omissa sunt verba: *μετὰ Ξανθίου* incl. (v. 11) usque ad *τοῦ Ἡρακλέους* excl. (v. 16) ‖ v. 17 *εἰ δὲ* (pro *εἰ*) | *ἡρακλέους ἦν* (tr.) ‖ v. 19 *περὶ* (pro *παρὰ*) ‖ v. 21 *τῇ περὶ ἀργεννούσαις* ‖ v. 22 *πεζῆ* (pro *πεζῇ*) | *κύκλω* (pro *κύκλῳ*) ‖ v. 23 a prima manu et *περι* supra lineam adiectum et *ε* ante *τ* in rasura pictum est in *περιπορεύεται* | *τὶ* (pro *τί*)

ἄριστον τῷ ὄντι Αἰσχύλον νομίσας καὶ παρὰ προσδοκίαν τοῦτον λαβὼν ἀλλ' οὐκ Εὐριπίδην αὖθις ἐς τοὺς ζῶντας ἀνέρχεται.

SCRIPTURAE DISCREPANTIA.

v. 2 *ἐς τοὺς ζῶντας αὖθις ἀνέρχεται* (tr.) ‖ deinde leguntur haec: *τοῖς δὲ γελοίοις τούτοις ὁ ποιητὴς μεθόδῳ δεινότητος, ἀνύει πάνυ γενναῖα καὶ σπουδαιότατα, τῇ γὰρ ἐξ ᾅδου μετ' αἰσχύλου πρὸς τοὺς ζῶντας ἀναφορᾷ φησι προπεμπόμενος ὁ διόνυσος, ἐντολὴν ἔσχε πλούτωνος καὶ περσεφόνης, καὶ τάχος τῶν αὐτῶν ὅπως τὴν πολιτείαν ἰσώσῃ τῶν ἀθηναίων, καὶ διαλύσῃ τὰς ἔχθρας, καὶ τοὺς διὰ τὴν ἐν ἀργεννούσαις μὴ γενομένην ἀναίρεσιν τῶν ἐχθρῶν* (scrib. *νεκρῶν*) *φυγάδας γενομένους καὶ ἀτίμους, αὖθις πολίτας καὶ ἐντίμους ποιήσειν:* ‖ secuntur: *τὰ τοῦ δράματος πρόσωπα M*

ΒΑΤΡΑΧΟΙ.

ΞΑΝ. *Εἴπω τι τῶν εἰωθότων, ὦ δέσποτα,*
ἐφ' οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι;
ΔΙΟ. *νὴ τὸν Δί' ὅ τι βούλει γε, πλὴν πιέζομαι,*
τοῦτο δὲ φύλαξαι· πάνυ γάρ ἐστ' ἤδη χολή.
ΞΑΝ. *μηδ' ἕτερον ἀστεῖόν τι;* *ΔΙΟ.* *πλήν γ', ὡς θλίβο-*
μαι.
ΞΑΝ. *τί δαί; τὸ πάνυ γέλοιον εἴπω;* *ΔΙΟ.* *νὴ Δία*
θαρρῶν γε· μόνον ἐκεῖν' ὅπως μὴ 'ρεῖς, *ΞΑΝ.* *τὸ τί;*
ΔΙΟ. *μεταβαλλόμενος τἀνάφορον ὅτι χεζητιᾷς.*
ΞΑΝ. *μηδ' ὅτι τοσοῦτον ἄχθος ἐπ' ἐμαυτῷ φέρων,*
εἰ μὴ καθαιρήσει τις, ἀποπαρδήσομαι;

SCRIPTURAE DISCREPANTIA.

v. 1 notae personarum minio pictae sunt, ut pars scholiorum, sed a prima manu *M*, usque ad v. 9 atramento, deinde minio pictae sunt, sed a prima manu *A* | *ΞΑΝ.*] omn. *VU* | in *Εἴπω*] *εἴ* in *A* *ἔ* in *M* minio pictum a prima manu | *τι*] *τί* *RVUA* *τὶ* *M* ‖ v. 3 *γε*] om. *U* ‖ v. 4 *δὲ*] *δε* *R* | *γάρ ἐστ'*] *γὰρ ἔστ'* *RVA* | *χολή.*] *χολὴ* *U* *χολή.* ras. corr. ex *σχολή.* *A* ‖ v. 5 *ΞΑΝ.*] om. *R* | *μηδ'*] *μὴ δ'* *RVUAM* | *ἀστεῖόν τι*] *ἀστεῖον τί* *UAM* | *ΔΙΟ.*] om. spatio relicto *R* supra lineam insertum a prima manu (quod cum permultis locis factum sit, postea solis litteris utar: s. l.) *V* | *πλήν*] *πλὴν* *V* ‖ v. 6 *τί*] *τὶ* *M* | *δαί;*] *δαὶ* *RUA* *δαι* *V* | *τὸ*] *το* *V* | *γέλοιον*] *γελοῖον* *AM* | *ΔΙΟ.*] s. l. *V* | *νὴ*] *νη* *R* ‖ v. 7 *μόνον*] *μόνον'* *R* | *ἐκεῖν'*] om. *R* | *μὴ 'ρεῖς*] *μ' ηρεῖς.* *R* *μὴ 'ῥῇις* *V* | *ΞΑΝ.*] s. l. *V* | *τὸ τί;*] in ras. est; in *V* *τοτί·* *R* *τὸ τί* *U* *τὸ τί·* *AM* ‖ v. 8 *μεταβαλλόμενος*] *μεταβαλλόμενός* *V* | *τἀνάφορον*] *τ' ἀνάφορον* *RV* | *χεζητιᾷς.*] *χεζητιᾶς·* corr. ex *χετζητιὰς·* *R* *χεζητιᾶς:* est in *V* *χεζητιᾶς* *U* *χεζητιᾶς.* *A* ‖ v. 9 *μηδ'*] *μὴ δ'* *RVM* *μήδ'* *U* *μήθ'* *A* | *ἐπ' ἐμαυτῷ*] *ἐπ ἐμαυτῶ* *R* *ἐπεμαυτῶ* *V* *ἐπ' ἐμαυτῶ* *UA* ‖ v. 10 *καθαιρήσει*] *καθαιρήση* *R* *καθαιρήσηι* *V* | *τις*] *τίς* *RVUA* *τὶς* *M* | *ἀποπαρδήσομαι;*] *ἀπὸ παρδήσομαι:* *V* ‖

ΔΙΟ. μὴ δῆθ', ἱκετεύω, πλήν γ' ὅταν μέλλω 'ξεμεῖν.
ΞΑΝ. τί δῆτ' ἔδει με ταῦτα τὰ σκεύη φέρειν,
εἴπερ ποιήσω μηδὲν ὧνπερ Φρύνιχος
εἴωθε ποιεῖν καὶ Λύκις κάμειψίας,
σκεύη ποτ' εἰ φέρουσιν ἐν κωμῳδίᾳ;
ΔΙΟ. μή νυν ποιήσῃς· ὡς ἐγὼ θεώμενος,
ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω,
πλεῖν ἢ 'νιαυτῷ πρεσβύτερος ἀπέρχομαι.
ΞΑΝ. ὢ τρισκακοδαίμων ἄρ' ὁ τράχηλος οὑτοσί,
ὅτι θλίβεται μέν, τὸ δὲ γέλοιον οὐκ ἐρεῖ.
ΔΙΟ. εἶτ' οὐχ ὕβρις ταῦτ' ἐστὶ καὶ πολλὴ τρυφή,
ὅτ' ἐγὼ μὲν ὢν Διόνυσος, υἱὸς Σταμνίου,
αὐτὸς βαδίζω καὶ πονῶ, τοῦτον δ' ὀχῶ,
ἵνα μὴ ταλαιπωροῖτο μηδ' ἄχθος φέροι;
ΞΑΝ. οὐ γὰρ φέρω 'γώ; ΔΙΟ. πῶς φέρεις γάρ, ὅς γ'
ὀχεῖ;

ADNOTATIO CRITICA.

vv. 14 et 15 *εἴωθε ποιεῖν καὶ Λύκις κάμειψίας, | σκεύη ποτ' εἰ φέρουσιν ἐν κωμῳδίᾳ*; coniectura quamvis incerta refingere conatus sum.

SCRIPTURAE DISCREPANTIA.

v. 11 *μὴ*] *μη A* | *ἱκετεύω*] *ἰκετεύω* (*ἰ* in ras. sed a prima manu *M* | *πλήν γ'*] *πλὴν γ' RV* | *ὅταν*] *ὅτ' ἂν RVM* ‖ v. 12 *τί*] *τὶ M* | *δῆτ'*] *δῆτ V* | *σκεύη*] *σκευη V* ‖ v. 13 *ποιήσω*] *ποήσω RVA* ras. corr. ex *ποιήσω* in *M* | *μηδὲν*] *μὴδὲν RV* ‖ v. 14 *κάμειψίας*] *κ' ἀμειψίας R* ‖ v. 15 hic versus ita in codd. legitur: *σκεύη φέρουσ'* (*σκευηφοροῦσ'* et in margine dextro a prima manu *γρ. σκεύη φέρουσ'*: *V σκευηφοροῦσ' A σκεύη φοροῦσ'* corr. M^2 ex *σκευοφοροῦσ'*) *ἑκάστοτ'* (*ἑκάστοτ'. V*) *ἐν κωμῳδίᾳ.* (corr. ex *τῆι κωμῳδίᾳ. R ἐν κωμωδίᾳ.* est in *V ἐν κωμωδία* in *UA*) ‖ v. 16 *μή νυν*] *μὴ νῦν RVUAM* | *ποιήσῃς*] *ποήσῃς R ποιήσῃς VUA ποήσῃς M* ‖ v. 17 *ὅταν*] *ὅτ' ἄν RM ὅτ' ἂν V ὅτάν A* | *τι*] *τί VU* | *τῶν σοφισμάτων τούτων* (tr.) *M* ‖ v. 18 *πλεῖν*] *πλὴν RV* | *ἢ 'νιαυτῷ*] *ἠνιαυτοῦ R ἠνι αὐτοῦ V ἢ 'νιαυτῶ A* ‖ v. 19 *ἄρ'*] *ἆρ' VUAM* corr. in *ἄρ'* M^2 | *οὑτοσί,*] *οὑτοσὶ RVUM* ‖ v. 20 *θλίβεται*] *θλίβετε V* | *μέν*] *μὲν RVAM* | *δὲ*] *δε R* | *γέλοιον*] *γελοῖον AM* | *οὐκ*] *οὐκ' R* | *ἐρεῖ.*] *ερεῖ: V ἐρεῖ, U ἐρεῖ; AM* ‖ v. 21 *εἶτ'*] *εἰτ' R εἴτ' V* | *οὐχ*] *οὐχ' RA* | *ἐστὶ*] *ἐστί A* | *τρυφή,*] *τρυφὴ V τρυφὴ, M* ‖ v. 22 *Διόνυσος,*] *διονύσιος U διὸνυσος A* | *Σταμνίου,*] *ταμνίου V* ‖ v. 24 *μηδ'*] *μὴ δ' RVUAM* ‖ v. 25 *'γώ;*] *γῶ· R ἐγὼ;: V 'γώ U* | *ΔΙΟ.*] s. l. *V* | *γάρ,*] *γὰρ VUAM* | *ὅς*] *ὃς V*

ΞΑΝ. φέρων γε ταυτί. *ΔΙΟ.* τίνα τρόπον; *ΞΑΝ.* βαρέως πάνυ.
ΔΙΟ. οὔκουν τὸ βάρος τοῦθ', ὃ σὺ φέρεις, οὕνος φέρει;
ΞΑΝ. οὐ δῆθ' ὅ γ' ἔχω 'γὼ καὶ φέρω, μὰ τὸν Δί' οὔ.
ΔΙΟ. πῶς γὰρ φέρεις, ὅς γ' αὐτὸς ὑφ' ἑτέρου φέρει;
ΞΑΝ. οὐκ οἶδ'· ὁ δ' ὦμος οὑτοσὶ πιέζεται.
ΔΙΟ. σὺ δ' οὖν ἐπειδὴ τὸν ὄνον οὐ φῄς σ' ὠφελεῖν,
ἐν τῷ μέρει σὺ τὸν ὄνον ἀράμενος φέρε.
ΞΑΝ. οἴμοι κακοδαίμων· τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν;
ἦ τἄν σε κωκύειν ἂν ἐκέλευον μακρά.
ΔΙΟ. κατάβα, πανοῦργε. καὶ γὰρ ἐγγὺς τῆς θύρας
ἤδη βαδίζων εἰμὶ τῆσδ', οἷ πρῶτά με
ἔδει τραπέσθαι. παιδίον, παῖ, ἠμί, παῖ.
ΗΡΑ. τίς τὴν θύραν ἐπάταξεν; ὡς κενταυρικῶς
ἐνήλαθ' ὅστις· εἰπέ μοι, τουτὶ τί ἦν;

ADNOTATIO CRITICA.

v. 33 *ἐγὼ οὐκ* Suidas.

SCRIPTURAE DISCREPANTIA.

v. 26 *ταυτί.*] *ταυτὶ U* | *ΔΙΟ.*] s. l. *V* | *ΞΑΝ.*] s. l. *V* | *πάνυ.*] *πανυ: V* ‖ v. 27 *οὔκουν*] *οὐκοῦν VA* | *ὃ*] *ὁ R* | *οὕνος*] *ὄνος R ὃ 'υνος V οὖνος U ὁὖνος AM* *φέρει;*] *φερει· R* ‖ v. 28 *ὅ γ'*] *ὅδ' AM* | *ἔχω 'γὼ*] *ἔχω γῶ R ἔχ ὠγώ V* | *μὰ*] *μα R* | ante *οὔ* est nota personae (*Δ°/*) in *R* et (*δι* s. l.) in *V* | *τὸν Δί' οὔ.*] *τὸν δία οὔ U τὸν δία·* (om. *οὔ*) *M* ‖ in rasura sed a prima manu sunt verba a *καὶ* (v. 28) usque ad *πιέζεται* inclus. (v. 30) *M* ‖ v. 29 *ΔΙΟ.*] omm. *RV* | *αὐτὸς*] *αυτὸς R* | *ὑφ' ἑτέρου*] *ὑφετέρου R ὑφ ἑτέρου V* | *φέρει*] *φέρηι V* ‖ v. 30 *οὐκ*] *οὐκ' R* | *οἶδ'*] *οῖδ' V* | *ὁ δ'*] *ὅδ' M* | *ὦμος*] *ῶμος R* | *πιέζεται.*] minio corr. ex *πιέζεται A* ‖ v. 31 *σὺ δ'*] *σύ δ' AM* | *φῄς*] *φῆς R φής UA φὴς M* | *σ'*] om. *M* | *ὠφελεῖν,*] corr. a prima manu ex *ὠφελεῖν. V* ‖ v. 32 *τῷ*] *τῳ V τῶ UA* ‖ v. 33 *τί*] *τὶ M* | *ἐγὼ*] *ἔγωγ' RVUAM* | *οὐκ*] *οὐκ' R* | *ἐναυμάχουν*] *εναυμάχουν VU* ‖ v. 34 *ἦ τἄν*] *ἢ τ' ἄν R ἤ τ' ἄν V ἦ τ' ἄν UAM* | *κωκύειν*] corr. ex *κωχύειν M²* | *ἂν ἐκέλευον*] a prima manu mutatum est in *ἀνεκέλευον* in *R* | *μακρά.*] *μακρὰ U* ‖ v. 36 *εἰμὶ*] *εἶμι RA εἰμί· M* | *οἷ*] *οἳ R* | *πρῶτά με*] corr. ex *πρώτά με* in *R πρῶτα με* est in *AM* ‖ v. 37 *ἠμί, παῖ.*] *ημί· παῖ. R ἠμί παι: V ἠμὶ παῖ UA ἠμὶ παῖ· M* ‖ v. 38 *τίς*] *τὶς M* ‖ v. 39 *τουτὶ*] *τουτί A* | *τί*] *τὶ M*

ΔΙΟ. ὁ παῖς. *ΞΑΝ.* τί ἔστιν; *ΔΙΟ.* οὐκ ἐνεθυμήθης;
ΞΑΝ. τὸ τί;
ΔΙΟ. ὡς σφόδρα μ' ἔδεισε. *ΞΑΝ.* νὴ Δία, μὴ μαίνοιό γε.
ΗΡΑ. οὔ τοι μὰ τὴν Δήμητρα δύναμαι μὴ γελᾶν·
καίτοι δάκνω γ' ἐμαυτόν· ἀλλ' ὅμως γελῶ.
ΔΙΟ. ὦ δαιμόνιε, πρόσελθε· δέομαι γάρ τί σου.
ΗΡΑ. ἀλλ' οὐχ οἷός τ' εἴμ' ἀποσοβῆσαι τὸν γέλων,
ὁρῶν λεοντῆν ἐπὶ κροκωτῷ κειμένην.
τίς ὁ νοῦς; τί κόθορνος καὶ ῥόπαλον ξυνηλθέτην;
ποῖ γῆς ἀπεδήμεις; *ΔΙΟ.* ἐπεβάτευον Κλεισθένει —
ΗΡΑ. κἀναυμάχησας; *ΔΙΟ.* καὶ κατεδύσαμέν γε ναῦς
τῶν πολεμίων ἢ δώδεκ' ἢ τρισκαίδεκα.
ΗΡΑ. σφώ; *ΔΙΟ.* νὴ τὸν Ἀπόλλω. *ΞΑΝ.* κᾆτ' ἔγωγ' ἐξ-
ηγρόμην.
ΔΙΟ. καὶ δῆτ' ἐπὶ τῆς νεὼς ἀναγιγνώσκοντί μοι

ADNOTATIO CRITICA.

v. 48 *Κλεισθένει* — Kockius.

SCRIPTURAE DISCREPANTIA.

v. 40 *ΞΑΝ.*] s. l. *V* | *ἔστιν;*] *εστιν· R ἐστιν: V ἐστιν U ἐστιν· AM* | *ΔΙΟ.*] s. l. *V* | *ἐνεθυμήθης;*] *ενεθυμήθης: V* | *ΞΑΝ.*]: *R* s. l. *V* | *τὸ τί;*] *τοτί R* ‖ v. 41 *ΔΙΟ.*] om. *R* | *ΞΑΝ.*]: *R* s. l. *V* | *Δία,*] *δί' V* | *γε.*] *γε;* corr. ex *γε.* M^2 ‖ v. 42 *οὔ τοι*] *οὔτοι V* | *μὰ*] *μα R* | *Δήμητρα*] *δήμητραν RM* | *γελᾶν·*] *γελῶν V* ‖ v. 43 *δάκνω γ'*] *δάκνω 'γ R δάκνων γ' AM* super *δάκνω* (in *δάκνω γ'*) scr. *κρατῶ U* | *ἐμαυτόν·*] *εμαυτὸν R ἐμαυτὸν· A* | *ὅμως*] *όμως R* ‖ v. 44 *γάρ*] *γὰρ RAM γάρ* corr. ex *γὰρ* a prima manu in *V* ‖ v. 45 *οὐχ*] *οὐχ' RVA* | *οἷός τ'*] *οἷος τ' R οἶος τ' U οἶος τε M* | *εἴμ'*] *εἶμ' RUM εἰμ' A* | *ἀποσοβῆσαι*] *ἀποθοβῆσαι* (sic) corr. ex *ἀποσοβῆσαι A* ‖ v. 46 *λεοντῆν*] *λεοντὴν RV* et *λεοντήν* lemma scholii in *R* | *ἐπὶ κροκωτῷ*] *επικροκωτῷ R ἐπικροκώτῳ V ἐπὶ κροκωτῶ U ἐπὶ κροκωτῷ* minio corr. ex *ἐπὶ κροκωτῶ A* ‖ v. 47 *τίς*] *τὶς M* | *τί*] *τὶ M* | *κόθορνος*] *κόθορνον A* ‖ v. 48 *ΔΙΟ.*]: *R* s. l. *V* | *Κλεισθένει —*] *κλεισθενει. R κλεισθένει: V κλεισθένει UA κλεισθένει. M* ‖ v. 49 *κἀναυμάχησας*] *καναυμάχησας R* | *ΔΙΟ.*] : *R* s. l. *V* | *κατεδύσαμέν*] rasura corr. ex *κὰτεδύσαμέν* in *R* ‖ v. 50 *ἢ δώδεκ'*] *ή δώδεκ' R* ‖ v. 51 *ΗΡΑ.*] om. *R* | *σφώ;*] *σφὼ R σφω V σφῶ; U σφῶε; AM* | *ΔΙΟ.*] omm. *RV* | *ΞΑΝ.*] *Θε/ R* s. l. *V* | *κᾆτ'*] *κᾶτ'* (et lemma scholii *κάτ'*) *R κὰτ' V κᾶτ' UM* | *ἔγωγ*] *έγωγ'* (et lemma scholii *εγωγ'*) *R* ‖ v. 52 *δῆτ'*] corr. ex *δὴτ' R δήτ'* est in *V* | *ἐπὶ*] *ἐπι R* | *ἀναγιγνώσκοντί*] *ἀναγι-*

τὴν Ἀνδρομέδαν πρὸς ἐμαυτὸν ἐξαίφνης πόθος
τὴν καρδίαν ἐπάταξε πῶς οἴει σφόδρα.
ΗΡΑ. πόθος; πόσος τις; ΔΙΟ. σμικρός, ἡλίκος Μόλων.
ΗΡΑ. γυναικός; ΔΙΟ. οὐ δῆτ'. ΗΡΑ. ἀλλὰ παιδός;
ΔΙΟ. οὐδαμῶς.
ΗΡΑ. ἀλλ' ἀνδρός; ΔΙΟ. ἀπαπαῖ. ΗΡΑ. ξυνεγένου τῷ
Κλεισθένει.
ΔΙΟ. μὴ σκῶπτέ μ', ὦδέλφ'· οὐ γὰρ ἀλλ' ἔχω κακῶς·
τοιοῦτος ἵμερός με διαλυμαίνεται.
ΗΡΑ. ποῖός τις, ὠδελφίδιον; ΔΙΟ. οὐκ ἔχω φράσαι.
ὅμως γε μέντοι σοι δι' αἰνιγμῶν ἐρῶ.
ἤδη ποτ' ἐπεθύμησας ἐξαίφνης ἔτνους;
ΗΡΑ. ἔτνους; βαβαιάξ, μυριάκις γ' ἐν τῷ βίῳ.

ADNOTATIO CRITICA.

v. 53 cur Andromedam elegerit Aristophanes, docet v. 57 *ΗΡΑ. ἀλλ' ἀνδρός; ΔΙΟ. ἀπαπαῖ.* — v. 57 *ἀπαπαῖ* Fritzschius. desiderium significat cfr. Thesmophor. v. 1191.

SCRIPTURAE DISCREPANTIA.

νώσκοντί *RVUAM* ‖ v. 53 τὴν] τὸν *A* | πρὸς ἐμαυτὸν] προσεμαυτὸν· *R* | ἐξαίφνης πρὸς ἐμαυτὸν (tr.) *AM* ‖ v. 54 ἐπάταξε] ἐπάταξεν *R* ἐπάταξε minio corr. ex ἐπίταξε *M* ‖ v. 55 πόσος τις;] πόσός τις *R* ποῖός τις: *V* πόσος τίς; *U* πόσος τίς· *A* πόσος· τίς· *M* | ΔΙΟ.] : *R* s. l. *V* | σμικρός,] μικρὸς *RUA* σμικρὸς *V* super σμ in σμικρός· scr. μα M^2 | ἡλίκος] ηλίκος *R* ‖ v. 56 *ΗΡΑ.*] Δ°/ *R* | γυναικός] γυναικὸς *VA* | ΔΙΟ.] : *R* s. l. *V* | *ΗΡΑ.*] : *R* s. l. *V* | ἀλλὰ] ἀλλα *R* | παιδός;] παιδὸς; *V* παιδὸς, *U* παιδὸς; minio corr. ex παιδὸς. in *A* | ΔΙΟ.] : *R* s. l. *V* ‖ v. 57 *ΗΡΑ.*] om. *R* | ἀνδρός;] ἀνδρὸς; *VAM* | ΔΙΟ.] : *R* s. l. *V* | ἀπαπαῖ.] ἀππαπαι· *R* ἀππαπαῖ: *V* ἀτταταὶ· *U* ἀτταταὶ. *A* ἀτταταί. *M* | *ΗΡΑ.*] : *R* s. l. *V* τῷ Κλεισθένει.] τῶ κλεισθένει· *R* τῷ κλεισθένει *V* τῶ κλεισθένει, *U* τῶ κλεισθένει. *A* τῷ κλεισθένει; *M* ‖ v. 58 σκῶπτέ μ',] σκῶπτε μ' *RVM* | ὦδέλφ'·] ὦδέλφ *R* ὦδέλφ' corr. ex ὦδέλφ' *V* ὦ 'δέλφ' est in *A* | γὰρ] γάρ, *U* γάρ· *A* γάρ· *M* | ἔχω] ἐχω *R* ‖ v. 59 τοιοῦτος] corr. ex οὗτος prima manus in *M* | ἵμερός] ἱμερός *R* ‖ v. 60 ποῖός] ποῖος *M* | τις,] τὶς *M* | ὠδελφίδιον;] ὦ 'δελφίδιον· *AM* | ΔΙΟ.] : *R* s. l. *V* | ἔχω] ἐχω *RV* ‖ v. 61 σοι] σοὶ *VUAM* | δι' αἰνιγμῶν] διαινιγμῶν *R* ‖ v. 62 ἤδη] ἤδή *A* | ποτ'] πότ' *VM* | ἔτνους;] ἔτνους *V* ‖ v. 63 ἔτνους] ἔτνους *V* | βαβαιάξ,] βαβαιὰξ *VUA* in margine dextro adscr. γρ. ἐγὼ, βαβαιὰξ· in *V* | γ'] om. *VA* | τῷ βίῳ.] τῶ βίω *U* τῶ βίω· *A*

ΔΙΟ. ἆρ' ἐκδιδάσκω τὸ σαφές, ἢ 'τέρᾳ φράσω;
ΗΡΑ. μὴ δῆτα περὶ ἔτνους γε· πάνυ γὰρ μανθάνω.
ΔΙΟ. τοιουτοσὶ τοίνυν με δαρδάπτει πόθος
Εὐριπίδου. *ΗΡΑ.* καὶ ταῦτα τοῦ τεθνηκότος;
ΔΙΟ. κοὐδείς γέ μ' ἂν πείσειεν ἀνθρώπων τὸ μὴ οὐκ
ἐλθεῖν ἐπ' ἐκεῖνον. *ΗΡΑ.* πότερον εἰς Ἅιδου κάτω;
ΔΙΟ. καὶ νὴ Δί' εἴ τί γ' ἔστιν ἔτι κατωτέρω.
ΗΡΑ. τί βουλόμενος; *ΔΙΟ.* δέομαι ποιητοῦ δεξιοῦ.
οἱ μὲν γὰρ οὐκέτ' εἰσίν, οἱ δ' ὄντες κακοί.
ΗΡΑ. τί δ'; οὐκ Ἰοφῶν ζῇ; *ΔΙΟ.* τοῦτο γάρ τοι καὶ μόνον
ἔτ' ἐστὶ λοιπὸν ἀγαθόν, εἰ καὶ τοῦτ' ἄρα·
οὐ γὰρ σάφ' οἶδ' οὐδ' αὐτὸ τοῦθ' ὅπως ἔχει.
ΗΡΑ. εἶτ' οὐ Σοφοκλέα, πρότερον ὄντ' Εὐριπίδου,
μέλλεις ἀνάξειν, εἴπερ ἐκεῖθεν δεῖ σ' ἄγειν;
ΔΙΟ. οὔ, πρίν γ' ἂν Ἰοφῶντ', ἀπολαβὼν αὐτὸν μόνον,

ADNOTATIO CRITICA.

v. 64 ἢ 'τέρᾳ Bentleius. — v. 67 *ΗΡΑ.* Kusterus. — v. 76 οὐ Σοφοκλέα Bentleius. — v. 77 ἀνάξειν, εἴπερ ἐκεῖθεν Halmius.

SCRIPTURAE DISCREPANTIA.

v. 64 *ΔΙΟ.*] om *R* | ἆρ'] ἄρ' *R* | σαφές,] σαφὲς· *R* σαφὲς *V* σαφὲς, *UAM* | ἢ 'τέρᾳ] ἢ τέρα *R* ἢ 'τερα *V* ἢ "τερα *U* 'ἤτερα *A* ἤτερὰ *M* ‖ v. 65 *ΗΡΑ.*] om. *R* | περὶ] περι *RV* | μανθάνω.] μανθάνη: *V* ‖ v. 66 *ΔΙΟ.*] om. *R* | τοιουτοσὶ] τοιοῦτοσὶ *R* ‖ v. 67 *ΗΡΑ.*] omm. *RVUAM* | τοῦ τεθνηκότος;] του τεθνηκότος· *R* τοῦ τεθνηκότος. *V* τοῦ τεθνηκότος *U* τοῦ τεθνηκότος· *AM* ‖ v. 68 *ΔΙΟ.*] omm. *RVU* | κοὐδείς] κ' οὐδείς *R* κοὐδεὶς *V* | γέ] γε *AM* | οὐκ] οὐ *RVUM* ‖ v. 69 ἐλθεῖν] κ' ἐλθεῖν *RV* κἐλθεῖν *UM* | ἐπ'] ἐπ *U* | *ΗΡΑ.*] : *R* s. l. *V* | Ἅιδου] άιδου *V* ᾅδου *UA* | κάτω;] κατω· *R* κάτω. *U* κάτω *A* κάτω; minio corr. ex κάτω· *M* ‖ v. 70 νὴ] νη *R* | εἴ τί γ'] εί τι γ' *R* εἴ τι γ' *VUAM* | ἔστιν] εστὶν *RV* ἐστὶν *U* ‖ v. 71 τί] τὶ *M* | *ΔΙΟ.*] s. l. *V* | ποιητοῦ] ποητοὺ *V* ‖ v. 72 εἰσίν,] εἰσὶν *RUA* εἰσὶν· *V* | οἱ δ'] οἳ δ' *V* | κακοί.] κακοὶ *UA* ‖ v. 73 τί δ'; οὐκ] τί δ' οὐκ *RVUAM* | Ἰοφῶν] ιοφῶν *VU* | ζῇ;] ζῆ; *RV* ζῆ *A* ζῆ, *U* ζῆ· *M* | *ΔΙΟ.*] s. l. *V* | τοῦτο] τουτὶ *V* τουτὶ corr. ex τοῦτο (sic) *M*² | γάρ τοι καὶ] γὰρ καὶ *V* ‖ v. 74 ἔτ'] ἐτ' *V* | ἐστὶ] εστὶ *R* ἐστι *V* | ἀγαθόν,] ἀγαθὸν· *R* ἀγαθὸν *VUA* ἀγαθὸν, *M* ‖ v. 75 ἔχει.] ἔχει· minio corr. ex ἔχει *M* ‖ v. 76 εἶτ'] εἰτ' *R* εἴτ' *V* | οὐ] οὐχι *R* οὐχὶ *VUAM* | post prius o in πρότερον erasa est una littera *U* ‖ v. 77 ἀνάξειν] ἀνάγειν *RV* ἀναγαγεῖν *UAM* ‖ v. 78 οὔ,] οὔ· *RVUA* οὒ *M* | πρίν] πρὶν corr. ex πρίν *R* πρὶν est in *V* | γ' ἂν] ἂν *R* (πρὶν ἂν etiam lemma scholii in *R*) γ' ἂν, *M* | Ἰο-

ἄνευ Σοφοκλέους ὅ τι ποιεῖ κωδωνίσω.
κἄλλως ὁ μέν γ᾽ Εὐριπίδης, πανοῦργος ὤν,
κἂν ξυναποδρᾶναι δεῦρ᾽ ἐπιχειρήσειέ μοι·
ὁ δ᾽ εὔκολος μὲν ἐνθάδ᾽, εὔκολος δ᾽ ἐκεῖ.
ΗΡΑ. Ἀγάθων δὲ ποῦ ποτ᾽ ἔστ᾽; *ΔΙΟ.* ἀπολιπών μ᾽ οἴχεται,
ἀγαθὸς ποιητὴς καὶ ποθεινὸς τοῖς φίλοις.
ΗΡΑ. ποῖ γῆς ὁ τλήμων; *ΔΙΟ.* ἐς μακάρων εὐωχίαν.
ΗΡΑ. ὁ δὲ Ξενοκλέης; *ΔΙΟ.* ἐξόλοιτο νὴ Δία.
ΗΡΑ. Πυθάγγελος δέ; *ΞΑΝ.* περὶ ἐμοῦ δ᾽ οὐδεὶς λόγος
ἐπιτριβομένου τὸν ὦμον οὑτωσὶ σφόδρα.
ΗΡΑ. οὔκουν ἕτερ᾽ ἔστ᾽ ἐνταῦθα μειρακύλλια
τραγῳδίας ποιοῦντα πλεῖν ἢ μυρία,
Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα;
ΔΙΟ. ἐπιφυλλίδες ταῦτ᾽ ἐστὶ καὶ στωμύλματα,
χελιδόνων μουσεῖα, λωβηταὶ τέχνης,

ADNOTATIO CRITICA.

v. 81 *κἂν* Dobraeus. — v. 83 *ΗΡΑ.* Ἀγάθων δὲ ποῦ ποτ᾽ ἔστ᾽; corr. Cobetus.

SCRIPTURAE DISCREPANTIA.

φῶντ᾽,] ιοφῶντ᾽ (lemma scholii ιοφῶντα) *R* ‖ v. 79 ποιεῖ] ποεῖ *RVA* ‖ v. 80 κἄλλως] κἀλλως· *R* κ᾽ ἄλλως *V* κἄλλως· *M* | ὁ μέν γ᾽] ὁ μὲν *V* | ὤν,] ὢν *RV* ὢν, *AM* ‖ v. 81 κἂν] καὶ *RVUAM* | ξυναποδρᾶναι] ξυν ἀποδρᾶναι *V* ξυναποδράναι *U* | ἐπιχειρήσειέ μοι] ἐπιχειρίσειέ μοι *R* ἐπιχειρήσειεν ἂν *A* ‖ v. 82 ὁ δ᾽] ὃδ᾽ *RUAM* ὁδ᾽ *V* | εὔκολος] εὐκολος *R* | μὲν] μεν *V* | εὔκολος] εὐκολος *R* ‖ v. 83 Ἀγάθων] ἀγὰθων *A* | δὲ] δε *R* | ποῦ ποτ᾽ ἔστ᾽;] ποὺ ᾽στιν· *R* ποῦστιν: *V* πούστιν *U* ποῦ ᾽στιν *A* ποῦστιν· *M* | *ΔΙΟ.*] s. l. *V* | μ᾽ οἴχεται] μ᾽ ἀποίχεται *UAM* ‖ v. 84 ποιητὴς] ποητῆς *R* ποητὴς *V* ‖ v. 85 *ΔΙΟ.*] s. l. *V* ‖ v. 86 δὲ] δε *R* | Ξενοκλέης] ξενοκλῆς *A* super κλέης in ξενοκλέης minio pictum a prima manu κλῆς in *M* | *ΔΙΟ.*] s. l. *V* ‖ v. 87 δέ;] δε· *R* δὲ: *V* δὲ *U* | *ΞΑΝ.*] s. l. *V* | περὶ ἐμοῦ] περιεμοῦ *R* | λόγος] λόγος· *RV* λόγος; *A* ‖ v. 88 σφόδρα.] σφόδρα; *R* ‖ v. 89 οὔκουν] οὐκοῦν *VUAM* οὐκουν rasura corr. ex οὔκουν *R* ‖. v. 90 τραγῳδίας] τραγωδίας *VUA* | πλεῖν] πλεὶν *R* | ἢ] ἢ *A* | μυρία,] μυρία· *R* μυρία *V* μύρια *U* μύρια· corr. ex μυρία· *A* μυρία· minio corr. ex μύρια· *M* ‖ v. 91 ἢ] ἢ *A* | σταδίῳ] σταδίω *AM* σταδίω corr. ex σταδίου *U* ‖ v. 92 ἐπιφυλλίδες] minio corr. ex επιφυλλίδες in *A* ‖ v. 93 χελιδόνων] corr. ex χελίδονων *R* | τέχνης,] τεχνης *V*

ἃ φροῦδα θᾶττον, ἢν μόνον χορὸν λάβῃ,
ἅπαξ προσουρήσαντα τῇ τραγῳδίᾳ.
γόνιμον δὲ ποιητὴν ἂν οὐχ εὕροις ἔτι
ζητῶν ἄν, ὅστις ῥῆμα γενναῖον λάκοι.
ΗΡΑ. πῶς γόνιμον; ΔΙΟ. ὡδὶ γόνιμον, ὅστις φθέγξεται
τοιουτονί τι παρακεκινδυνευμένον,
αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα,
ἢ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν,
γλῶτταν δ' ἐπιορκήσασαν ἰδίᾳ τῆς φρενός.
ΗΡΑ. σὲ δὲ ταῦτ' ἀρέσκει; ΔΙΟ. μἀλλὰ πλεῖν ἢ μαίνομαι.
ΗΡΑ. ἦ μὴν κόβαλά γ' ἐστίν, ὡς καὶ σοὶ δοκεῖ.
ΔΙΟ. μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἔχεις γὰρ οἰκίαν
ΗΡΑ. καὶ μὴν ἀτεχνῶς γε παμπόνηρα φαίνεται.
ΔΙΟ. δειπνεῖν με δίδασκε. ΞΑΝ. περὶ ἐμοῦ δ' οὐδεὶς λόγος.
ΔΙΟ. ἀλλ' ὧνπερ ἕνεκα τήνδε τὴν σκευὴν ἔχων
ἦλθον κατὰ σὴν μίμησιν, ἵνα μοι τοὺς ξένους
τοὺς σοὺς φράσειας, εἰ δεοίμην, οἷσι σὺ
ἔχρω τόθ', ἡνίκ' ἦλθες ἐπὶ τὸν Κέρβερον,

ADNOTATIO CRITICA.

v. 103 μἀλλὰ Porsonus. — v. 111 ἔχρω Brunckius.

SCRIPTURAE DISCREPANTIA.

v. 94 ἃ] erasum est in *V* ‖ ἢν] ἢ̈ν *R* εἰ *M* | λάβῃ,] λάβῃ· *U* λάβη *A* λάβῃ, *M* ‖ v. 95 τῇ τραγῳδίᾳ.] τῇ τραγωδίᾳ *V* τῇ τραγωδία *U* τῇ τραγωδιά. *A* ‖ v. 96 δὲ] δε *R* | οὐχ] οὐχ' *RA* | εὕροις] εύροις *R* εὔροις *V* εὕρῃς *U* ‖ v. 97 ἄν,] ἂν *VA* ἂν· *R* ἄν, *M* | λάκοι] corr. a prima manu ex λάβοι in *R* superscriptum: ἢ λάβοι in *U* ‖ v. 98 ΔΙΟ.] s. l. *V* | ὡδὶ] ωδὶ *R* ‖ v. 99 τοιουτονί] τοιουτονὶ *R* τοιοῦτονὶ *V* | τι] τί *R* om. *V* ‖ v. 100 χρόνου] χρὸνου *A* ‖ v. 101 οὐκ] οὐκ' *R* | ὀμόσαι] ὀμίσαι *V* | καθ'] καθ *R* ‖ v. 102 γλῶτταν] γλῶσσαν *V* | ἰδίᾳ] ἄνευ *R* ἰδία *VUMA* et superscriptum ἄνευ in *A* | φρενός.] φρενὸς· *U* φρενὸς *A* ‖ v. 103 ταῦτ'] ταυτ' *V* | ἀρέσκει] ἀρεσκει *V* ἀρέσκει corr. ex ἀρώσκει *A* | ΔΙΟ.] s. l. *V* | μἀλλὰ] μάλα *R* μᾶλλα *V* καὶ μάλα *UAM* | ἢ] ἢ *A* ‖ v. 104 ἦ] ἢ *RV* | κόβαλά] corr. inter scribendum ex κόλβαλά in *R* | ἐστίν] εστιν· *R* ἔστιν *V* ἐστὶν *UAM* ‖ v. 107 ΔΙΟ.] om. *R* | ΞΑΝ.] s. l. *V* | περὶ ἐμοῦ] περιεμοῦ *R* | λόγος.] λόγος; *M* (λόγος *VUA*) ‖ v. 108 ὧνπερ] ὥσπερ *V* | σκευὴν corr. ex σκευῆν in *R* ‖ v. 109 κατὰ] κατα *R* | μοι] corr. ex μοὶ in *M* ‖ v. 110 φράσειας,] φρασειας *R* ‖ v. 111 ἔχρω] ἐχρῶ *RVUAM* | ἡνίκ'] ἡνίκ' *R* | ἦλθες]

τούτους φράσον μοι, λιμένας, ἀρτοπώλια,
πορνεῖ', ἀναπαύλας, ἐκτροπάς, κρήνας, ὁδούς,
πόλεις, διαίτας, πανδοκεῖ' ἔπειθ', ὅπου
κόρεις ὀλίγιστοι. *ΞΑΝ.* περὶ ἐμοῦ δ' οὐδεὶς λόγος.
ΗΡΑ. ὦ σχέτλιε, τολμήσεις γὰρ ἰέναι; *ΔΙΟ.* καὶ σύ γε
μηδὲν ἔτι πρὸς ταῦτ', ἀλλὰ φράζε τῶν ὁδῶν
ὅπῃ τάχιστ' ἀφιξόμεθ' εἰς Ἅιδου κάτω·
καὶ μήτε θερμὴν μήτ' ἄγαν ψυχρὰν φράσῃς.
ΗΡΑ. φέρε δή, τίν' αὐτῶν σοι φράσω πρώτην; τίνα;
μία μὲν γὰρ ἔστιν ἀπὸ κάλω καὶ θρανίου,
κρεμάσαντι σαυτόν. *ΔΙΟ.* παῦε, πνιγηρὰν λέγεις.

ADNOTATIO CRITICA.

v. 114 πανδοκεῖ' ἔπειθ' e coniectura scripsi. — v. 116 ἰέναι; *ΔΙΟ.* καὶ Seidlerus.

SCRIPTURAE DISCREPANTIA.

ἦλθες *R* ‖ v. 112 τούτους] τούτοις *V* ‖ v. 113 ἐκτροπάς,] ἐκτροπὰς· *A* | κρήνας,] κρῆνας *A* | ὁδούς,] ὁδοὺς *A* ὁδοὺς καπηλίδας: — *V* ‖ v. 114 πανδοκεῖ' ἔπειθ',] πανδοκευτρίας· *R* πὰν δοκευτρίας· *V* πανδοκευτρίας *UA* πανδοκευτρίας, *M* ‖ v. 115 *ΞΑΝ.*] s. l. *V* | λόγος.] λόγος; *A* (λόγος *V*) ‖ v. 116 *ΗΡΑ.*] om. *R* Dionysi notam adscripsit R^3 | ἰέναι;] ιέναι *R* ἱέναι *V* ἰέναι *UAM* | *ΔΙΟ.*] omm. *RVUAM* | καὶ σύ γε] κάτω: et in margine dextro adscriptum a prima manu: γρ. καὶ σύ γε *V* super σύ γε in καὶ σύ γε scripsit prima manus: γρ. κάτω *M* ‖ v. 117 versui Dionysi nota praefixa est in *VUAM* | μηδὲν] μὴδὲν *RV* | πρὸς] προς *R* | ἀλλὰ] ἀλλα *R* | φράζε] φράζαι *V* ‖ v. 118 ὅπῃ] ὅπως *RA* ὅπως superscripto minio a prima manu: ὅπη· *M* ὅπη *U* ὅπηι corr. a prima manu ex ὅποι et in margine dextro adscriptum a prima manu: γρ. ὅπως τάχιστ' ἀφίξωμεθ' *V* | ἀφιξόμεθ'] corr. a prima manu ex ἀφικόμεθ' in *R* ἀφίξομ' est in *VU* ἀφίξομαι *M* | Ἅιδου] ἅδου *V* ἅδου *UA* ‖ v. 119 ἄγαν] ἀγαν *R* | φράσῃς] φρασης *U* φράσης *A* ‖ v. 120 *ΗΡΑ.*] om., sed in margine dextro adscriptum est: ηρ in *R* | φέρε] φερε *R* | δή,] δὴ *RVUAM* | πρώτην.] minio corr. ex πρώτην in *A* | inter πρώτην et τίνα supra lineam minio adscriptum: δίον in *A* spatium trium fere litterarum relictum in *M* ‖ v. 121 versui praefixum: ἡρα *A* | γὰρ] γάρ *UAM* correctum ex γὰρ *R* | ἔστιν] ἐστὶν· *V* ἐστιν *UA* ἐστιν, *M* ἔστιν· correctum ex ἔστ'· *R* | ἀπὸ κάλω] ἀπο κάλω (et lemma scholii: απο κάλου) *R* ἀποκαλω *V* ‖ v. 122 σαυτόν.] σαυτὸν: *V* σαυτὸν *U* | *ΔΙΟ.*] s. l. *V* | λέγεις.] λέγεις; *M* γὰρ λέγεις· *U*

ΗΡΑ. ἀλλ' ἔστιν ἀτραπὸς ξύντομος τετριμμένη,
ἡ διὰ θυΐας. *ΔΙΟ.* ἆρα κώνειον λέγεις;
ΗΡΑ. μάλιστά γε. *ΔΙΟ.* ψυχράν γε καὶ δυσχείμερον·
εὐθὺς γὰρ ἀποπήγνυσι τἀντικνήμια.
ΗΡΑ. βούλει ταχεῖαν καὶ κατάντη σοι φράσω;
ΔΙΟ. νὴ τὸν Δί', ὡς ὄντος γε μὴ βαδιστικοῦ.
ΗΡΑ. καθέρπυσόν νυν ἐς Κεραμεικόν. *ΔΙΟ.* κᾆτα τί;
ΗΡΑ. ἀναβὰς ἐπὶ τὸν πύργον τὸν ὑψηλὸν *ΔΙΟ.* τί δρῶ;
ΗΡΑ. ἀφιεμένην τὴν λαμπάδ' ἐντεῦθεν θεῶ,
κᾄπειτ' ἐπειδὰν φῶσιν οἱ θεώμενοι
εἶναι, τόθ' εἶναι καὶ σὺ σαυτόν. *ΔΙΟ.* ποῖ; *ΗΡΑ.* κάτω.
ΔΙΟ. ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίω δύο.
οὐκ ἂν βαδίσαιμι τὴν ὁδὸν ταύτην. *ΗΡΑ.* τί δαί;
ΔΙΟ. ἥνπερ σὺ τότε κατῆλθες. *ΗΡΑ.* ἀλλ' ὁ πλοῦς πολύς.

SCRIPTURAE DISCREPANTIA.

v. 123 ἔστιν] εστιν *R* | ἀτραπὸς corr. prima manus ex ἀτραπός *V* | ξύντομος] σύντομος (etiam lemma scholii in *R*) *RUAM* συντομος *V* ‖ v. 124 διὰ θυΐας.] δια θυΐας· *R* δια θυνίας: *V* διὰ θυείας *UAM* | *ΔΙΟ.*] s. l. *V* | ἆρα] ἄρα *R* | κώνειον] κώνιον *R* ‖ v. 125 μάλιστά γε.] μάλιστα γε: *V* | *ΔΙΟ.*] s. l. *V* ‖ v. 126 τἀντικνήμια.] τ' ἀντικνήμια· *R* τ' αντικνήμια *V* ‖ v. 127 ταχεῖαν καὶ κατάντη] κατάντη καὶ ταχεῖαν (tr.) *V* ‖ v. 128 *ΔΙΟ.*] om. *R* | τὸν] corr. prima manus ex τόν *V* supra lineam minio adscriptum est in *A* | ὄντος] όντος *R* ‖ v. 129 *ΗΡΑ.*] om. *R* | καθέρπυσόν νυν] καθέρπυσον νῦν *RVUAM* | ἐς] ες *R* εἰς *A* δ' εἰς corr. prima manu ex ἐς *M* | Κεραμεικόν.] κεραμικόν· corr. ex κεραμικόν; *R* κεραμικόν: est in *V* κεραμεικὸν. *U* | *ΔΙΟ.*] : *R* s. l. *V* | κᾆτα] εἶτα *RUM* κάτα *V* ‖ v. 130 *ΗΡΑ.*] om. *R* | ἐπὶ] ἔπι *R* | πύργον] πῦργον *VM* | ὑψηλὸν] ὑψηλόν *R* ὑψηλον: *V* ὑψηλὸν· *A* ὑψηλόν; *M* | *ΔΙΟ.*] : *R* s. l. *V* | τί] τὶ *M* ‖ v. 131 *ΗΡΑ.*] om. *R* ‖ v. 132 κᾄπειτ'] κάπειτ' *V* | ἐπειδὰν] ἐπειδᾶν *V* | φῶσιν] φωσιν *R* | θεώμενοι] θεώμενοι — εἴητε (sic) *V* ‖ v. 133 εἶναι,] εἶναι· *R* εἶναι *V* super εἶναι minio scriptum ἀφεῖναι *A* | εἶναι] εἶναι (etiam lemma scholii in *R*) *RV* | σὺ] corr. ex σύ *R* | σαυτόν.] σαυτόν: corr. prima manus ex σαυτὸν: *V* σαυτὸν. est in *U* | *ΔΙΟ.*] : *R* s. l. *V* | *ΗΡΑ.*] : *R* s. l. in *V* | κάτω.] κατω: *V* ‖ v. 134 *ΔΙΟ.*] ἡρ̈ *V* | ἐγκεφάλου] ἐγκεφαλου *R* ἐγκεφάλωι *V* | θρίω] θρία *A* | δύο] δύω *RVAUM* (etiam lemma scholii in *R*) ‖ v. 135 οὐκ] οὐκ' *R* | *ΗΡΑ.*] : *R* s. l. *V* | τί] τὶ *M* | δαί;] δαι· *R* δέ; *V* δαὶ, *U* δαὶ *A* δαί· *M* ‖ v. 136 *ΔΙΟ.*] om. *R* | *ΗΡΑ.*] : *R* s. l. *V* | πλοῦς corr. ex πλοὺς *R* | πολύς.] πολὺς *UA*

εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἥξεις πάνυ
ἄβυσσον. *ΔΙΟ.* εἶτα πῶς περαιωθήσομαι;
ΗΡΑ. ἐν πλοιαρίῳ τυννουτῳί σ' ἀνὴρ γέρων
ναύτης διάξει δύ' ὀβολὼ μισθὸν λαβών.
ΔΙΟ. φεῦ,
ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ.
πῶς ἠλθέτην κἀκεῖσε; *ΗΡΑ.* Θησεὺς ἤγαγεν.
μετὰ τοῦτ' ὄφεις καὶ θηρί' ὄψει μυρία
δεινότατα. *ΔΙΟ.* μή μ' ἔκπληττε μηδὲ δειμάτου·
οὐ γάρ μ' ἀποτρέψεις. *ΗΡΑ.* εἶτα βόρβορον πολὺν
καὶ σκῶρ ἀείνων· ἐν δὲ τούτῳ κειμένους
εἴ που ξένον τις ἠδίκησε πώποτε,
ΔΙΟ. ἢ παῖδα βινῶν τἀργύριον ὑφείλετο,
ΗΡΑ. ἢ μητέρ' ἠλόησεν, ἢ πατρὸς γνάθον

ADNOTATIO CRITICA.

v. 146 *ἀείνων* Elmsleius. — v. 148 *βινῶν* Dindorfius; hunc versum Dionyso dedi. — v. 149 *ἠλόησεν* Suidas.

SCRIPTURAE DISCREPANTIA.

v. 137 *ἐπὶ*] *ἐπι R εἰς V* | *ἥξεις*] *ἡξεις R ἥξεις V* ‖ v. 138 *ΔΙΟ.*] : *R* s. l. *V* | *πῶς*] *πῶς γε RUAM* ‖ v. 139 *πλοιαρίῳ*] *πλοιαρίω UA* | *τυννουτῳί*] *τυνουτωί R τυννούτωί, V τυννουτωί UAM* ‖ v. 140 *ὀβολὼ*] *ὀβολὼ* corr. ex *ὀβολῶ* in *R* | *λαβών.*] *λαβὼν* corr. prima manus ex *λαβών* in *V* *λαβὼν* est in *U* *λαβὼν. A* ‖ v. 141 verba *ΔΙΟ. φεῦ,* [*φεῦ* in *R φεῦ. VUM φεὺ A*] unum versum efficiunt in *RV*, ad antecedentem versum tracta sunt in *M* | *τὼ*] corr. ex *τῶ* in *U* | *ὀβολώ.*] *ὀβολώ. R ὀβολὼ. U* ‖ v. 142 *ἠλθέτην*] *ηλθετην R* | *κἀκεῖσε;*] *κακεῖσε R κακεῖσε: V* | *ΗΡΑ.*] : *R* s. l. *V* | *Θησεὺς*] *θυσεὺς U* | *ἤγαγεν.*] *ἤγαγεν. R ἤγαγε· VM ἤγαγε UA* ‖ v. 143 *μετὰ*] *μετα RA* | *τοῦτ'*] *ταῦθ' V τουτ'* superscripto *αυ* super *ου U ταῦτ' A* | *θηρί'*] corr. ex *θοιρί' R* ‖ v. 144 *ΔΙΟ.*] s. l. *V* | *ἔκπληττε*] *ἔκπληκτε V* | *μηδὲ*] *μὴ δε R μὴ δὲ VUAM* | *δειμάτου*] *δειματου R* ‖ v. 145 *ἀποτρέψεις.*] *ἀποτρεψεις R ἀποστρέψεις V* | *ΗΡΑ.*] : *R* s. l. *V* | *πολὺν*] *πολύν· R πολύν VA* ‖ v. 146 *σκῶρ*] *σκῶρ' V* | *ἀείνων·*] *ἀεὶ νῶν·* (etiam lemma scholii in *R νῶν*) *RAM* (superscripto *ῥέων* super *νῶν*) *U ἀείναον. V* | *δὲ*] *δε R* | *τούτῳ*] *τούτω* corr. ex *τοῦτω R τούτω* est in *A* ‖ v. 147 *τις*] *τίς RV τὶς M* | *ἠδίκησε*] *ἠδίκηκε V* | *πώποτε*] *πώπο M* ‖ v. 148 *ΔΙΟ.*] omm. *RVUAM* | *ἢ*] *τ' ἢ M* | *βινῶν*] *κινῶν RVAM κινῶν, U* | *τἀργύριον*] *τ' ἀργύριον RV* | *ὑφείλετο,*] *ὑφ' εἵλετο· R* ‖ v. 149 *ΗΡΑ.*] omm. *RVUAM* | *ἠλόησεν*] *ἠλοίησεν RVUM ἠλλυίησεν A* | *πατρὸς*] *πατρος A* | *γνάθον*] *γναθον: V* (*γνάθον· U*)

ἐπάταξεν, ἢ 'πίορκον ὅρκον ὤμοσεν,
[ἢ Μορσίμου τις ῥῆσιν ἐξεγράψατο.]
ΔΙΟ. νὴ τοὺς θεοὺς ἐχρῆν γε πρὸς τούτοισι κεἰ
τὴν πυρρίχην τις ἔμαθε τὴν Κινησίου.
ΗΡΑ. ἐντεῦθεν αὐλῶν τίς σε περίεισιν πνοή,
ὄψει τε φῶς κάλλιστον, ὥσπερ ἐνθάδε,
καὶ μυρρινῶνας, καὶ θιάσους εὐδαίμονας
ἀνδρῶν γυναικῶν, καὶ κρότον χειρῶν πολύν.
ΔΙΟ. οὗτοι δὲ δὴ τίνες εἰσίν; ΗΡΑ. οἱ μεμυημένοι,
ΞΑΝ. νὴ τὸν Δί' ἐγὼ γοῦν ὄνος ἄγω μυστήρια.
ἀτὰρ οὐ καθέξω ταῦτα τὸν πλείω χρόνον.
ΗΡΑ. οἵ σοι φράσουσ' ἁπαξάπανθ' ὧν ἂν δέῃ.
οὗτοι γὰρ ἐγγύτατα παρ' αὐτὴν τὴν ὁδὸν
ἐπὶ ταῖσι τοῦ Πλούτωνος οἰκοῦσιν θύραις.

ADNOTATIO CRITICA.

v. 151 hunc versum spurium esse intellexit Leutschius.

SCRIPTURAE DISCREPANTIA.

v. 150 'πίορκον] πίυρκον *R* | ὅρκον] ὄρκον *R* | ὤμοσεν] ὥμοσεν *V* ὤμοσεν ex ὄμοσεν corr. A^2 ‖ v. 151 super alterum μ in Μορσίμου] scriptum est π in *U* | τις] τίς *RVUA* τὶς *M* ‖ v. 152 ΔΙΟ.] om. *R* | θεοὺς] θεούς γε *M* (qui tamen habet ἐχρῆν γε) | πρὸς τούτοισι] προς τούτοις *R* | κεἰ] καὶ εἰ *R* κ' εἰ *V* | πρὸς τούτοισι κεἰ corr. prima manus ex πρὸς τούτοις ἐκεῖ in *A* ‖ v. 153 πυρρίχην] πυῤῥίχην (sic ῤῥ a prima manu cfr. W. Wattenbach: Anleitung zur griechischen Paläographie. Zweite Auflage. Vorrede) *V* | τις] τίς *RVUA* τὶς *M* | ἔμαθε] ἔμαθεν *R* | Κινησίου] κιννησίου *A* ‖ v. 154 ΗΡΑ.] omm. *RV* | περίεισιν] περίεισι *VUAM* | πνοή,] πνοὴ. *U* πνοὴ *A* ‖ v. 155 τε] δὲ *V* τὲ *AM* ‖ v. 156 μυρρινῶνας,] μυῤῥινῶνας (sic ῤῥ a prima manu) *V* μυρριῶνας *U* ‖ v. 157 πολύν.] πολὺν *U* | καὶ πολὺν χειρῶν κρότον (tr.) *AM* ‖ v. 158 ΔΙΟ.] ξ *R* | οὗτοι] οὗτοι *R* | δὴ] corr. prima manus ex δή in *V* om. *U* | τίνες] τίνὲς (sic) *A* | εἰσίν;] εἰσὶν. *U* εἰσιν· *A* | ΗΡΑ.] s. l. *V* ‖ v. 159 νὴ τὸν Δί'] νὴ δί' *M* | ἐγὼ γοῦν] ἔγωγ' οὖν *RAM* ἔγωγοῦν *V* ἔγογ' οὖν *U* | super ὄνος scripsit prima manus ὡς in *M* | ἄγω] (sic *RV* etiam lemma scholii in *R*) ἄγων *UM* ἄγων correctum a prima manu, fortasse ex ὄνον *A* ‖ v. 160 ἀτὰρ] αὐτὰρ *M* | χρόνον.] χρὸνον *A* ‖ v. 161 ΗΡΑ.] — *R* | οἵ σοι] οἳ σοὶ *V* | φράσουσ'] φράζουσ' *VM* | ἁπαξάπανθ'] ἁπαξάπαν *V* ἁπαξάπανθ' corr. prima manus ex ἅπαξάπανθ' in *M* | ὧν] ὢν *V* | ἂν] ἄν *A* | δέῃ.] δέῃ *UA* ‖ v. 162 παρ' αὐτὴν] παραυτὴν *R* | ὁδὸν] corr. ex ὀδόν in *R* ὁδόν est in *A* ὁδὸν, corr. prima manus ex ὁδόν, in *M* ‖ v. 163 ἐπὶ] ἐπι *RV* | οἰκοῦσιν] οἰκοῦσι *M* ‖

καὶ χαῖρε πόλλ', ὠδελφέ. ΔΙΟ. νὴ Δία καὶ σύ γε
ὑγίαινε. σὺ δὲ τὰ στρώματ' αὖθις λάμβανε.
ΞΑΝ. πρὶν καὶ καταθέσθαι; ΔΙΟ. καὶ ταχέως μέντοι πάνυ.
ΞΑΝ. μὴ δῆθ', ἱκετεύω σ', ἀλλὰ μίσθωσαί τινα
[τῶν ἐκφερομένων, ὅστις ἐπὶ τοῦτ' ἔρχεται.]
ΔΙΟ. ἐὰν δὲ μηῦρω; ΞΑΝ. τότ' ἔμ' ἔχειν. ΔΙΟ. καλῶς λέγεις.
καὶ γάρ τιν' ἐκφέρουσι τουτονὶ νεκρόν.
οὗτος, σὲ λέγω μέντοι, σὲ τὸν τεθνηκότα·
ἄνθρωπε, βούλει σκευάρι' εἰς Ἅιδου φέρειν;
ΝΕΚ. πόσ' ἄττα; ΔΙΟ. ταυτί. ΝΕΚ. δύο δραχμὰς μισθὸν τελεῖς;
ΔΙΟ. μὰ Δί', ἀλλ' ἔλαττον. ΝΕΚ. ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ.

ADNOTATIO CRITICA.

v. 168 Hunc versum delevit Hamakerus. — v. 169 τότ' ἔμ' Bergkius; ἔχειν Ritschelius. — v. 170 τιν' ἐκφέρουσι Elmsleius.

SCRIPTURAE DISCREPANTIA.

v. 164 χαῖρε] corr. ex χαῖ ῥε R | ὠδελφέ.] ὦδελφὲ· U ὦ 'δελφέ. A ὦδελφὲ corr. ex ἀδελφὲ M^2 ὦδελφὲ πολλά. (tr.) M | ΔΙΟ.] s. l. V | νὴ] νη R | γε] γε· U ‖ v. 165 σὺ] σύ A | δὲ] δε R ‖ v. 166 versus 166 post v. 167 collocatus est, sed restitutus est iustus ordo praefixis litteris α β γ δ versibus 165—168 in U | καταθέσθαι;] minio corr. ex καταθέσθαι· in M (καταθέσθαι est in U καταθέσθαι· A) ‖ v. 167 ΞΑΝ.] om. R | ἀλλὰ] ἀλλα R | μίσθωσαί τινα] μίσθωσε τινά V | v. 168 ἐπὶ] ἐπι R | v. 169 ΔΙΟ.] om. R | δὲ] δε R | μηῦρω;] μήὑρω· (fortasse μηὕρω corr. ex μήῦρω) R μή̋ϋρω; V μὴ ὗρω; U μ' ηὗρω A | ΞΑΝ.] : R s. l. V | τότ' ἔμ'] τότε μ' RVUAM | ἔχειν] άγειν R ἄγειν VAMU | ΔΙΟ.] : R s. l. V | λέγεις.] λεγεις R non inest in codice hoc loco ut permultis vetustate detrito U ‖ v. 170 γάρ] γὰρ V | τιν'] τινες RVUAM | ἐκφέρουσι] φέρουσι RVAM (ἐκφέρουσι U) | τουτονὶ] corr. ex τοῦτονὶ R τουτονὶ τὸν U | νεκρόν.] corr. ex νέκρὸν. A ‖ v. 171 σὲ λέγω] σε λέγω R ‖ v. 172 ἄνθρωπε,] ἀνθρωπε A non iam inest in codice cfr. ad v. 169 U | Ἅιδου] ἅδου UA ‖ v. 173 πόσ' ἄττα;] πῶς ἄττα· R πόσ' ἅττα V πόσ άττα; U πόσ' ἄττα· AM (sed ἄττα· minio corr. ex ἅττα· in M) | ΔΙΟ.] om. V | ταυτί.] ταυτι R ταυτὶ. U | ΝΕΚ.] : R om. V | δραχμὰς] δραγμὰς M | εῖς in τελεῖς· non iam inest in codice U ‖ v. 174 μὰ Δί',] μα δί' R non iam insunt in U | ΝΕΚ.] : R

ΔΙΟ. ἀνάμεινον, ὦ δαιμόνι', ἵνα ξυμβῶ τί σοι.
ΝΕΚ. εἰ μὴ καταθήσεις δύο δραχμάς, μὴ διαλέγου.
ΔΙΟ. λάβ' ἐννέ' ὀβολούς. ΝΕΚ. ἀναβιῴην νυν πάλιν.
ΞΑΝ. ὡς σεμνὸς ὁ κατάρατος· οὐκ οἰμώξεται;
ἐγὼ βαδιοῦμαι. ΔΙΟ. χρηστὸς εἶ καὶ γεννάδας.
τουτὶ τί ἔστι; ΞΑΝ. τοῦτο; λίμνη. ΔΙΟ. νὴ Δία 181
αὕτη 'στὶν ἣν ἔφραζε. ΞΑΝ. καὶ πλοῖόν γ' ὁρῶ. 182
ΔΙΟ. χωρῶμεν ἐπὶ τὸ πλοῖον. ΧΑΡ. ὢ ὄπ', παραβαλοῦ. 180
ΞΑΝ. νὴ τὸν Ποσειδῶ, κἄστι γ' ὁ Χάρων οὑτοσί. 183
ΔΙΟ. χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων.
ΧΑΡ. τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων;

ADNOTATIO CRITICA.

v. 177 *νυν* Dindorfius. — v. 180 post v. 182 transposuit Ritschelius. — v. 181 *τοῦτο;* Dobraeus. — in vv. 181 et 182 verba inter singulas personas distribuerunt Engerus et Bergkius.

SCRIPTURAE DISCREPANTIA.

